eul_wid: pim-ab

*Θέων ὁ Σμυρναῖος* · Theon of Smyrna II

# Testimonies

*Μαρτυρίαι*

**Period:** *Ῥωμαϊκή* Roman
**Dialect:** *Ἀττικίζουσα τεχνική* Atticizing Technical
**Domain:** *Μαθηματικά* Mathematics
**Format:** *Πραγματεία* Treatise

1 Θέω ν , Ἀλεξανδρεὺς φιλόσοφος Στωϊκός, γεγονὼς ἐπὶ Αὐγούστου μετὰ Ἄρειον. ἔγραψε τῆς Ἀπολλοδώρου Φυσιολογικῆς εἰσαγωγῆς ὑπόμνημα, περὶ τεχνῶν ῥητορικῶν βιβλία γʹ.

2 Θέων Σμυρναῖος φιλόσοφο ς .

3 Θέων Ἀντιοχείας τῆς ἐν Δάφνῃ, φιλόσοφος Στωικός. ἔγραψεν Ἀπολογίαν Σωκράτους.

4 Θέων, ὁ ἐκ τοῦ Μουσείου, Αἰγύπτιος, φιλόσοφος, σύγχρονος δὲ Πάππῳ τῷ φιλοσόφῳ καὶ αὐτῷ Ἀλεξανδρεῖ. ἐτύγχανον δὲ ἀμφότεροι ἐπὶ Θεοδοσίου βασιλέως τοῦ πρεσβυτέρου. ἔγραψε Μαθηματικά, Ἀριθμητικά, Περὶ σημείων καὶ σκοπῆς ὀρνέων καὶ τῆς κοράκων φωνῆς, Περὶ τῆς τοῦ κυνὸς ἐπιτολῆς, Περὶ τῆς τοῦ Νείλου ἀναβάσεως, Εἰς τὸν Πτολεμαίου πρόχει ρον κανόνα καὶ εἰς τὸν μικρὸν ἀστρόλαβον ὑπόμνημα.

5 Θέων Ἀλεξανδρεὺ ς , σοφιστής, ὃς ἐχρημάτισεν Αἴλιο ς . ἔγραψε Τέχνην, Περὶ Προγυμνασμάτων, Ὑπόμνημα εἰς Ξενοφῶντα, εἰς τὸν Ἰσοκράτην, εἰς Δημοσθένην, Ῥητορικὰς ὑποθέσεις, καὶ Ζητήματα περὶ συντάξεως λόγου, καὶ ἄλλα πλείονα.

6 Θέω ν , ὁ Οὐαλέριος χρηματίσας, σοφιστής, ὑπόμνημα εἰς Ἀνδοκίδην.

7 Θέω ν , Γυμνασίου τοῦ σοφιστοῦ παῖς, Σιδώνιος, σοφιστὴς παιδεύσας κατὰ τὴν πατρίδα, γενόμενος δὲ ἐπὶ τοῦ βασιλέως Κωνσταντίνου, καὶ ἀπὸ ὑπάτων καὶ ὕπαρχος.

8 Θέων σοφιστὴς λόγων ῥητορικῶν, γεγονὼς ἀπὸ τῆς ἱερᾶς Μαρκέλλης τὸ γὲ ἀνέκαθεν, τὸ δὲ ἐξ’ ὑπογύου πατρόθεν ἀπὸ Ἐκδικίου, διδασκάλου καὶ τούτου τέχνης ῥητορικῆς, ἦν δὲ οὗτος ὁ Θέων οὐ μάλα ἀγχίνους οὐδὲ ὀξύς, φιλομαθὴς δὲ καὶ φιλό πονος εἰς ὑπερβολὴν, ταῦτά τοι καὶ ἐγεγόνει πολυμαθέστατος ἐν ὀλίγῳ χρόνῳ πολλὴν ἀρχαίαν ἱστορίαν, πολλὴν δὲ νέαν περι βαλλόμενος.